## CAPVT II.

Cvm autem quædam inanimatis talia principia insint, quædam verò in animatis, & in anima, & in animæ ea parte, quæ rationem habet, patet quòd potentiarum quoque quædam irrationales, quędam cum ratione erunt. Quare omnes artes, & factiuę scientiæ, potentiæ sunt. Principia enim transmutatiua in alio, prout aliud est. Et quæ quidem cum ratione, omnes eædem contrariorum sunt: irrationales verò, vna vnius: vt calidum, ipsius calefaciendi solius: medicandi verò potentia, infirmitatis, & sanitatis. Causa verò est, quia scientia ratio. Ratio autem eadem manifestat & rem, & priuationem, nisi quod non similiter: & quodam modo quidem amborum est, quodam modo verò eius magis, quod existit. Quare necesse est tales etiam scientias esse quidem contrariorum: esse verò huius quidem per se ipsas, illius verò non per se ipsas. Etenim ratio huius quidem secundum se ipsam, huius verò quodam modo secundum accidens. Negatione enim, & sublatione, manifestat contrarium. Prima nanque priuatio, contrarium est: hæc autem alterius demptio est. Sed quoniam contraria non sunt in eodem, scientia verò potentia, eo quòd habet rationem, anima quoque motus principium habet (salubre quidem sanitatem solùm facit, & calefactiuum caliditatem, & frigefactiuum frigiditatem, sciens autem ambo: ratio enim amborum quidem est, non tamen similiter, & in anima, quæ motus principium habet) ambo profectò ex eodem mouebit principio ad idem coniungens. Quare quæ secundum rationem potentia sunt, contraria iis faciunt, quæ absque ratione potentia sunt: vnum namque principium, continetur ratione. Manifestum autem est, quòd & ipsius bene potentiam sequitur solius faciendi, aut patiendi potentia: hanc verò illa non semper. Qui enim benefaciat, necesse est vt etiam faciat: qui verò solùm facit, non necessario & bene facit.

## CAPVT III.

Svnt autem quidam, vt Megarici, qui dicunt tunc solum posse cùm agat: cùm verò non agat, non posse: vtputa eum, qui non ædificat, ædificare non posse: sed ædificantem, cùm ædificat: similiter quoque & de cæteris. Quibus quæ inconuenientia accidunt, non est difficile videre. Patet nanque quòd nec ædificator erit, si non ædificat. Ædificatori enim esse, ipsum posse ædificare est. Similiter

A

## Κεφάλαιον β.

Ἐπεὶ δ' αἱ μὲν ἐν τοῖς ἀψύχοις ἐνυπάρχουσιν ἀρχαὶ τοιαῦται, αἱ δ' ἐν τοῖς δ' ἐμψύχοις καὶ ἐν ψυχῇ, καὶ τῆς ψυχῆς ἐν τῷ λόγον ἔχοντι, δῆλον ὅτι καὶ τῶν δυνάμεων, αἱ μὲν ἔσονται ἄλογοι, αἱ δὲ μετὰ λόγου. διὸ πᾶσαι αἱ τέχναι καὶ ποιητικαὶ καὶ αἱ ἐπιστῆμαι, δυνάμεις εἰσίν. ἀρχαὶ γὰρ μεταβλητικαί εἰ-
B σιν ἐν ἄλλῳ ἢ ἄλλο. καὶ αἱ μὲν μετὰ λόγου πᾶσαι τῶν ἐναντίων αἱ αὐταί· αἱ δ' ἄλογοι, μία ἑνός· οἷον, τὸ θερμὸν τοῦ θερμαίνειν μόνον· ἡ δ' ἰατρικὴ, νόσου καὶ ὑγιείας. αἴτιον δὲ, ὅτι λόγος ἐστὶν ἡ ἐπιστήμη. ὁ δὲ λόγος ὁ αὐτὸς δηλοῖ τὸ πρᾶγμα καὶ τὴν στέρησιν, πλὴν οὐχ ὡσαύτως· καὶ ἔστιν ὡς ἀμφοῖν, ἔστι δὲ ὡς τοῦ ὑπάρχοντος μᾶλλον. ὥστ' ἀνάγκη καὶ τὰς τοιαύτας ἐπιστήμας, εἶναι μὲν τῶν ἐναντίων, εἶναι δὲ τοῦ μὲν
C καθ' αὑτὰς, τοῦ δὲ μὴ καθ' αὑτάς. καὶ γὰρ ὁ λόγος τοῦ μὲν καθ' αὑτὸ, τοῦ δὲ τρόπον τινὰ κατὰ συμβεβηκός. ἀποφάσει γὰρ καὶ ἀποφορᾷ δηλοῖ τὸ ἐναντίον. ἡ γὰρ στέρησις ἡ πρώτη, τὸ ἐναντίον· αὕτη δὲ ἀποφορὰ θατέρου. ἐπεὶ δὲ τὰ ἐναντία οὐκ ἐγγίνεται ἐν τῷ αὐτῷ (ἡ δ' ἐπιστήμη δύναμις τῷ λόγον ἔχειν· καὶ ἡ ψυχὴ κινήσεως ἔχει ἀρχήν·) τὸ μὲν ὑγιεινὸν ὑγίειαν
D μόνον ποιεῖ, καὶ τὸ θερμαντικὸν θερμότητα, καὶ τὸ ψυκτικὸν ψυχρότητα· ὁ δ' ἐπιστήμων ἄμφω. λόγος γάρ ἐστιν ἀμφοῖν μὲν, οὐχ ὁμοίως δὲ καὶ ἐν τῇ ψυχῇ, ἣ ἔχει κινήσεως ἀρχήν. ὥστε ἄμφω ἀπὸ τῆς αὐτῆς ἀρχῆς κινήσει πρὸς τὸ αὐτὸ συνάψασα. διὸ τὰ κατὰ λόγον δυνατὰ, τοῖς ἄνευ λόγου δυνατοῖς, ποιεῖ τἀναντία. μιᾷ γὰρ ἀρχῇ περιέχεται τῷ λόγῳ. φανερὸν δὲ, καὶ ὅτι τῇ μὲν τοῦ εὖ δυνάμει ἀ-
E κολουθεῖ, ἡ τοῦ μόνον ποιῆσαι ἢ παθεῖν δύναμις· ταύτῃ δ' ἐκείνη οὐκ ἀεί. ἀνάγκη γὰρ τὸν εὖ ποιοῦντα, καὶ ποιεῖν· τὸν δὲ μόνον ποιοῦντα, οὐκ ἀνάγκη καὶ εὖ ποιεῖν.

## Κεφάλαιον γ.

Εἰσὶ δέ τινες οἵ φασιν, οἷον οἱ Μεγαρικοὶ, ὅταν ἐνεργῇ, μόνον δύνασθαι· ὅταν δὲ μὴ ἐνεργῇ, μὴ δύνασθαι· οἷον, τὸν μὴ οἰκοδομοῦντα, μὴ δύνασθαι οἰκοδομεῖν,
F ἀλλὰ τὸν οἰκοδομοῦντα ὅταν οἰκοδομῇ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. οἷς τὰ συμβαίνοντα ἄτοπα, οὐ χαλεπὸν ἰδεῖν. δῆλον γὰρ ὅτι οὔτε οἰκοδόμος ἔσται ἐὰν μὴ οἰκοδομῇ. τὸ γὰρ οἰκοδόμῳ εἶναι, τὸ δυνατῷ εἶναί ἐστιν οἰκοδομεῖν. ὁμοίως δὲ καὶ